καὶ νυκτὸς ὑμῖν δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν.
καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ κάρτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν ὑμῖν ἐγκατιλλώψας μέγα.
ἠκούσαθ' ὧν ἔλεξα τῆς ἐμῆς περὶ
ψυχῆς, φρονήσατ', ὦ κατὰ χθονὸς θεαί·
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.

ΧΟΡΟΣ.

(μυγμός.)

ΚΛ. μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω·
φίλοι γάρ εἰσι τοῖς θεοῖς προσίκτορες.

ΧΟ. (μυγμός.)

ΚΛ. ἄγαν ὑπνώσσεις κοὺ κατοικτίζει πάθος·
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.

108. *καὶ νυκτὶ* (ι ex ο factum) *σεμνὰ* M. *καὶ νυκτὶ σεμνὰ* G. V. Fl. *καὶ νυκτίσεμνα* Turn. *κἀν νυκτὶ σεμνὰ* Burges. Non male. Correxi *καὶ νυκτὸς ὑμῖν*.

109. *ὥραν*] Adverbialiter positum. Cf. Herod. II. 2. *τὴν ὥρην ἐπαγινέειν σφίσιν αἶγας*. Eur. Bacch. 722. *αἱ δὲ τὴν τεταγμένην | ὥραν ἐκίνουν θύρσον* etc. Dem. p. 49, 6. Andoc. p. 18, 4. Similiter *ἀωρίαν* Arist. Ach. 23.

110. *καὶ πάντα*] Qu. *ἅπαντα*.

112. *καὶ ταῦτα κούφως* mss. *τοιαῦτα κούφως* Weil. Leg. *καὶ κάρτα κούφως*. Et sic Herw., qui, "Si *καὶ ταῦτα* sanum esset, haud dubie sequi debuisset part. *ὀρούσας*." *ἀρκυσμάτων* mss. *ἀρκυστάτων* Turn.

113. *ἐκκατιλλώψας* mss. *ἐγκ.* Turn.

114. *ἀκούσαθ' ὡς ἔλεξα* mss. *ἀκούσαθ' ὧν* — Aur. Herm. Sch. *ἠκούσαθ' ὧν* conj. Wakef. Qu. *ἀκούσαθ' ὧν ἔλεξα τῆς τ' ἐμῆς περὶ | ψυχῆς φρονήσατ'* —.

115. *ψυχῆς*] *τύχης* Valck.

116. *Κλυταιμνήστρα* (sic) mss. *Κλυταιμήστρα* Weckl.

117—131. Personas paragraphis distinguit M.

119. *φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες* mss. *φίλοι — προσεικότες* Weil. Sidg. Qu. *φίλοι γάρ εἰσι τοῖς θεοῖς* (aut *Λοξίᾳ*) *προσίκτορες*. *φίλοις*] *ἐχθροῖς* Hartung. *ἄλλοις* Naber. *εἰσιν οὐκ ἐμοῖς* mss. *εἰσιν, οὐκ ἐμοὶ* Schutz. Dobr. Herm. Pal. Dind. Qu. *εἰσι τοῖς θεοῖς*. Cf. 151. *προσίκτορες* mss. *προσεικότες* Weil. Sidg. Cf. 441. *ἧσαι — σεμνὸς προσίκτωρ*.

121—123. in margine habet M.

121. *ἄγαν* M. *ἄγαν γ'* V. Fl. F. Stanl. *κατοικτίζεις* mss. *κατοικτίζει* recte Dind. Cf. Pr. 36. *τί — κατοικτίζει μάτην;* Pers. 1063. *κατοίκτισαι στρατόν*.

122. *μητρὸς*] *μιαρὸς* F. W. Schmidt.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG